eul_wid: ekq-aa

*Μνησίμαχος ὁ Φασηλίτης* · Mnesimachus of Phaselis

# On Scythians and Cosmology

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

**ΠΕΡΙ ΣΚΥΘΩΝ. E LIBRO PRIMO.**

1 Schol. Apoll. Rh. II, 1015: [ Ἱερὸν δ ’ αὖ τ ’ ἐπὶ τοῖσιν ὄρο ς ] Τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον. Μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῷ α′ Περιόδων, καὶ Σουΐδας ἐν β′, περὶ τοὺς λεγομένους Μάκρω νας· ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ Πόντου περίπλῳ· ὃς καὶ ρ′ ἀπέχειν σταδίους αὐτό φησι τῆς Τραπεζοῦντος. Ὁ δὲ Εἰρηναῖος Μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν α′ περὶ Σκυθῶν, ἀγνοῶν. Ὁ γὰρ Μνησίμαχος [ὡς] ἐν τῇ Εὐρώπῃ μέμνηται κειμένης τῆς Σκυ θικῆς· ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς Ἀσίας διαλέγονται. Ἔστι καὶ ἄλλο Ἱερὸν ὄρος Θρᾴκης.

t2a-2b ΔΙΑΚΟΣΜΟΙ.

2a Idem IV, 1412: Τῶν νυμφῶν αἱ μέν εἰσιν οὐράνιαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. Καὶ καθόλου δὲ τῶν νυμφῶν γένος εἰς πολλὰ διῄρηται, ὥς φησι Μνησίμαχος ὁ Φασιλήτης (Φασηλίτης? Φασιάτης?) ἐν Διακόσμοις.

2b Idem II, 477: Ἁμαδρυάδας νύμφας Μνησίμαχός φησι διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. Ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι Ἁμαδρυάδες λέγονται.